## ΥΠΟΘΕΣΙΣ ΑΙΑΝΤΟΣ.

Τὸ δρᾶμα τῆς Τρωικῆς ἐστι πραγματείας, ὥσπερ οἱ ΑΝΤΗΝΟΡΙΔΑΙ καὶ ΑΙΧΜΑΛΩΤΙΔΕΣ καὶ ΕΛΕΝΗΣ ΑΡΠΑΓΗ καὶ ΜΕΜΝΩΝ.[1]) πεπτωκότος γὰρ ἐν τῇ μάχῃ τοῦ Ἀχιλλέως ἐδόκουν Αἴας τε καὶ Ὀδυσσεὺς ἐπ' αὐτῷ πλέον τι ἀριστεύειν περὶ τὴν τοῦ σώματος κομιδήν· καὶ κρινομένων περὶ τῶν ὅπλων κρατεῖ Ὀδυσσεύς. ὅθεν καὶ ὁ Αἴας τῆς κρίσεως μὴ τυχὼν παρακεκίνηται καὶ διέφθαρται τὴν γνώμην, ὥστε ἐφαπτόμενος τῶν ποιμνίων δοκεῖν τοὺς Ἕλληνας διαχειρίσασθαι. καὶ τὰ μὲν ἀνεῖλε τῶν τετραπόδων, τὰ δὲ δήσας ἀπάγει ἐπὶ τὴν σκηνήν· ἐν οἷς ἐστί τις καὶ κριὸς ἔξοχος, ὃν ᾤετο εἶναι Ὀδυσσέα, ὃν δήσας ἐμαστίγωσεν, ὅθεν καὶ τῇ ἐπιγραφῇ πρόσκειται ΜΑΣΤΙΓΟΦΟΡΟΣ[2]). [ἢ πρὸς ἀντιδιαστολὴν τοῦ ΛΟΚΡΟΥ.[3]) Δικαίαρχος[4]) δὲ ΑΙΑΝΤΟΣ ΘΑΝΑΤΟΝ ἐπιγράφει· ἐν δὲ ταῖς Διδασκαλίαις ψιλῶς ΑΙΑΣ ἀναγέγραπται[5])].

---

1) Von diesen Stücken des Sophokles, welche als dem troischen Sagenkreis entnommen angeführt werden, ist wenig bekannt. Für *Ἑλένης ἁρπαγή* war der eigentliche Name *Ἑλένης ἀπαίτησις* und *Μέμνων* war wahrscheinlich das gleiche Stück wie *Αἰθίοπες*.

2) Vgl. Schol. zu 110 *μάστιγι πρῶτον: ἐντεῦθεν ἡ ἐπιγραφὴ τοῦ δράματος*. Vgl. zu 91. — Die eingeschlossenen Worte enthalten eine nachträgliche Bemerkung.

3) Der Stoff des *Αἴας Λοκρός* kann nicht mit Sicherheit bestimmt werden.

4) Dikaiarchos von Messana, Schüler des Aristoteles, schrieb Inhaltsangaben zu den Stücken des Sophokles und Euripides.

5) *Διδασκαλίαι* war eine Schrift des Aristoteles, eine Sammlung von *διδασκαλίαι* d. i. Berichten über die scenischen Aufführungen in Athen. *Αἴας*

SLUB Wir führen Wissen.
UNIVERSITÄT LEIPZIG